68. JAIRUS DAUGHTER RAISED AND OTHERS HEALED (Matt-Mark Identical)

| Matt 9:18-34 | Mark 5:21-43 |
|---|---|
| | *Καὶ διαπεράσαντος* |
| | *τοῦ Ἰησοῦ* |
| | *ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν* |
| | *συνήχθη ὄχλος πολὺς ἐπ αὐτόν,* |
| | |
| | *καὶ ἦν παρὰ τὴν θάλασσαν.* |
| *Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς* | |
| *ἰδοὺ* | *22 καὶ ἔρχεται* |
| *ἄρχων εἷς ἐλθὼν* | *εἷς τῶν ἀρχισυναγώγων,* |
| | *ὀνόματι Ἰάϊρος,* |
| | |
| *προσεκύνει* | *καὶ ἰδὼν αὐτὸν πίπτει* |
| *αὐτῷ* | *πρὸς τοὺς πόδας αὐτοῦ* |
| | *23 καὶ παρακαλεῖ αὐτὸν* |
| | *πολλὰ* |
| | |
| *λέγων ὅτι* | *λέγων ὅτι* |
| *Ἡ θυγάτηρ μου* | *Τὸ θυγάτριόν μου* |
| | |
| *ἄρτι ἐτελεύτησεν·* | *ἐσχάτως ἔχει,* |
| *ἀλλὰ ἐλθὼν ἐπίθες* | *ἵνα ἐλθὼν ἐπιθῇς* |
| *τὴν χεῖρά σου ἐπ αὐτήν,* | *τὰς χεῖρας αὐτῇ ἵνα σωθῇ* |
| *καὶ ζήσεται.* | *καὶ ζήσῃ.* |
| *19 καὶ ἐγερθεὶς ὁ Ἰησοῦς* | |
| | *24 καὶ ἀπῆλθεν μετ αὐτοῦ.* |
| *ἠκολούθησεν αὐτῷ* | *Καὶ ἠκολούθει αὐτῷ* |
| *καὶ οἱ μαθηταὶ αὐτοῦ.* | *ὄχλος πολύς,* |
| | *καὶ συνέθλιβον αὐτόν.* |
| *9·20 Καὶ ἰδοὺ γυνὴ* | *25 καὶ γυνὴ οὖσα ἐν ῥύσει* |
| *αἱμορροοῦσα δώδεκα ἔτη* | *αἵματος δώδεκα ἔτη* |
| | *26 καὶ πολλὰ παθοῦσα ὑπὸ* |
| | *πολλῶν ἰατρῶν καὶ δαπανήσασα* |
| | *τὰ παρ αὐτῆς πάντα* |
| | *καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ* |
| | *μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα,* |
| | *27 ἀκούσασα περὶ τοῦ Ἰησοῦ,* |
| *προσελθοῦσα ὄπισθεν* | *ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν* |
| *ἥψατο τοῦ κρασπέδου* | *ἥψατο* |

| Matt 9:18-34 | Mark 5:21-43 |
| --- | --- |
| *τοῦ ἱματίου αὐτοῦ·* | *τοῦ ἱματίου αὐτοῦ·* |
| *21 ἔλεγεν γὰρ ἐν ἑαυτῇ,* | *28 ἔλεγεν γὰρ ὅτι* |
| *Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου* | *Ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων* |
| *αὐτοῦ σωθήσομαι.* | *αὐτοῦ σωθήσομαι.* |
| | *29 καὶ εὐθὺς ἐξηράνθη ἡ πηγὴ* |
| | *τοῦ αἵματος αὐτῆς,* |
| | *καὶ ἔγνω τῷ σώματι ὅτι* |
| | *ἴαται ἀπὸ τῆς μάστιγος.* |
| *22 ὁ δὲ Ἰησοῦς* | *30 καὶ εὐθὺς ὁ Ἰησοῦς* |
| | *ἐπιγνοὺς ἐν ἑαυτῷ* |
| | *τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν* |
| *στραφεὶς* | *ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ* |
| | *ἔλεγεν,* |
| | *Τίς μου ἥψατο τῶν ἱματίων* |
| | *31 καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,* |
| | *Βλέπεις τὸν ὄχλον* |
| | *συνθλίβοντά σε,* |
| | *καὶ λέγεις, Τίς μου ἥψατο* |
| *καὶ ἰδὼν αὐτὴν* | *32 καὶ περιεβλέπετο ἰδεῖν* |
| | *τὴν τοῦτο ποιήσασαν.* |
| | *33 ἡ δὲ γυνὴ* |
| | *φοβηθεῖσα καὶ τρέμουσα,* |
| | *εἰδυῖα ὃ γέγονεν αὐτῇ,* |
| | *ἦλθεν καὶ προσέπεσεν αὐτῷ* |
| | *καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν* |
| | *ἀλήθειαν.* |
| *εἶπεν,* | *34 ὁ δὲ εἶπεν αὐτῇ,* |
| *Θάρσει, θύγατερ·* | *Θυγάτηρ,* |
| *ἡ πίστις σου σέσωκέν σε.* | *ἡ πίστις σου σέσωκέν σε·* |
| | *ὕπαγε εἰς εἰρήνην,* |
| *καὶ ἐσώθη ἡ γυνὴ* | *καὶ ἴσθι ὑγιὴς* |
| *ἀπὸ τῆς ὥρας ἐκείνης.* | *ἀπὸ τῆς μάστιγός σου.* |
| | *35 Ἔτι αὐτοῦ λαλοῦντος* |

| Matt 9:18-34 | Mark 5:21-43 |
|---|---|
| | *ἔρχονται* |
| | *ἀπὸ τοῦ ἀρχισυναγώγου* |
| | *λέγοντες ὅτι* |
| | *῾Η θυγάτηρ σου ἀπέθανεν·* |
| | *τί ἔτι σκύλλεις τὸν διδάσκαλον* |
| | *36 ὁ δὲ ᾽Ιησοῦς παρακούσας* |
| | *τὸν λόγον λαλούμενον* |
| | *λέγει τῷ ἀρχισυναγώγῳ,* |
| | *Μὴ φοβοῦ, μόνον πίστευε.* |
| | |
| | *5·37 καὶ οὐκ ἀφῆκεν οὐδένα* |
| | *μετ  αὐτοῦ συνακολουθῆσαι* |
| | *εἰ μὴ τὸν Πέτρον* |
| | *καὶ ᾽Ιάκωβον καὶ ᾽Ιωάννην* |
| | *τὸν ἀδελφὸν ᾽Ιακώβου.* |
| | |
| *9·23 Καὶ ἐλθὼν ὁ ᾽Ιησοῦς εἰς* | *38 καὶ ἔρχονται εἰς* |
| *τὴν οἰκίαν τοῦ ἄρχοντος* | *τὸν οἶκον τοῦ ἀρχισυναγώγου,* |
| *καὶ ἰδὼν τοὺς αὐλητὰςκαὶ τὸν* | *καὶ θεωρεῖ θόρυβον καὶ κλαίοντας* |
| *ὄχλον θορυβούμενον* | *καὶ ἀλαλάζοντας πολλά,* |
| *24 ἔλεγεν,* | *39 καὶ εἰσελθὼν λέγει αὐτοῖς,* |
| *᾽Αναχωρεῖτε,* | *Τί θορυβεῖσθε καὶ κλαίετε* |
| *οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον* | *τὸ παιδίον οὐκ ἀπέθανεν* |
| *ἀλλὰ καθεύδει.* | *ἀλλὰ καθεύδει.* |
| *καὶ κατεγέλων αὐτοῦ.* | *40 καὶ κατεγέλων αὐτοῦ.* |
| | |
| *25 ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος,* | *αὐτὸς δὲ ἐκβαλὼν πάντας* |
| | *παραλαμβάνει* |
| | *τὸν πατέρα τοῦ παιδίου* |
| | *καὶ τὴν μητέρα* |
| | *καὶ τοὺς μετ  αὐτοῦ,* |
| *εἰσελθὼν* | *καὶ εἰσπορεύεται* |
| | *ὅπου ἦν τὸ παιδίον· 41 καὶ* |
| *ἐκράτησεν τῆς χειρὸς αὐτῆς,* | *κρατήσας τῆς χειρὸς τοῦ παιδίου* |
| | *λέγει αὐτῇ, Ταλιθα κουμ,* |
| | *ὅ ἐστιν μεθερμηνευόμενον* |
| | *Τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε.* |

| Matt 9:18-34 | Mark 5:21-43 |
|---|---|
| *καὶ ἠγέρθη τὸ κοράσιον.* | *42 καὶ εὐθὺς ἀνέστη τὸ κοράσιον* |
| | *καὶ περιεπάτει,* |
| | *ἦν γὰρ ἐτῶν δώδεκα.* |
| | *καὶ ἐξέστησαν εὐθὺς* |
| | *ἐκστάσει μεγάλῃ.* |
| | *43 καὶ διεστείλατο αὐτοῖς πολλὰ* |
| | *ἵνα μηδεὶς γνοῖ τοῦτο,* |
| | *καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν* |
| *26 καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.* | |
| *27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες, Ἐλέησον ἡμᾶς, υἱὸς Δαυίδ.* | |
| *28 ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι λέγουσιν αὐτῷ, Ναί, κύριε.* | |
| *29 τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν.* | |
| *30 καὶ ἠνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί. καὶ ἐνεβριμήθη αὐτοῖς ὁ Ἰησοῦς λέγων, Ὁρᾶτε μηδεὶς γινωσκέτω.* | |
| *31 οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.* | |
| *32 Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον·* | |
| *33 καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες, Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ.* | |
| *34 οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.* | |

72 words out of 623 words = 12%